Ἔτι, τῆς τελειότητος τῆς ἀγαθότητος ἐν τοῖς κτίσμασι καὶ ἡ τάξις ἐστίν, τὸ εἶναι δηλαδὴ ἄλλα ἄλλων βελτίω, ἵνα ὦσι πάντες οἱ δυνατοὶ τῆς ἀγαθότητος τρόποι. Ἀλλὰ βαθμὸς ὑψηλοτέρας ἀγαθότητος, τὸ μὴ δύνασθαί τι ἐκπίπτειν τῆς ἑαυτοῦ ἀγαθότητος, ταπεινοτέρας δὲ τὸ δύνασθαι τοῦτο. Ἑκάτερον τοίνυν βαθμὸν τῆς τελειότητος τοῦ παντὸς ἀπαιτούσης, καὶ ἑκάτερον ὁ Θεὸς φυλάττει αὐτῷ. Οὐκ ἄρα ἀναιρεῖ τὴν τοῦ δύνασθαι μεταβάλλειν ἀπὸ τοῦ ἀγαθοῦ δύναμιν· ταύτῃ δὲ τῇ μεταβολῇ ἕπεται τὸ κακόν, ὅτι καὶ εἰς τὸ κακὸν μεταβάλλει, καὶ ἡ μεταβολὴ αὐτὴ κακόν ἐστιν ἡ τοιαύτη. Καὶ ἡ ἀπὸ τοῦ χείρονος πρὸς τὸ ἀγαθόν, ἀγαθή.

Ἔτι, εἰ τὸ τοῦ πυρὸς τέλος ἀναιρεθείη, ὅπερ ἐστὶ τὸ γεννᾶν ὅμοιον ἑαυτῷ, ᾧ ἕπεται κακόν τι, ἡ τῶν καυστῶν δηλονότι φθορά, ἀναιρεθείη ἄν τι καὶ ἀγαθόν, ἡ τοῦ πυρὸς γένεσις καὶ ἡ κατὰ τὸ εἶδος τούτου συντήρησις.

Ἔτι, καὶ πολλὰ | τῶν ὁμολογουμένως ἀγαθῶν οὐκ ἂν εἶχε τόπον, μὴ f. 93v
ὄντων τῶν κακῶν ἐν τοῖς πράγμασιν, οἷον ἡ τῶν δικαίων ὑπομονή, μὴ οὔσης τῆς τῶν διωκτῶν ἐπηρείας, καὶ ἡ τιμωρία τῆς δίκης, μὴ ὄντων τῶν ἁμαρτημάτων, καὶ ἡ ἑνὸς γένεσις οὐκ ἂν ἦν, μὴ τῆς ἑτέρου φθορᾶς οὔσης. Καὶ οὕτως εἰ τὸ κακὸν ἀνῃρεῖτο παντάπασι διὰ τῆς προνοίας, ἠλάττωτο ἂν τὸ τῶν ἀγαθῶν πλῆθος, ὅπερ οὐκ ἔδει. Καὶ νικᾶν ἔδει τὸ ἀγαθὸν ἐν τῇ ἀγαθότητι ἢ τὸ κακὸν ἐν τῇ πονηρίᾳ.

Ἔτι, ἠλάττωτο ἂν ἡ ἀνθρωπίνη γνῶσις· τὸ γὰρ ἀγαθὸν ἐκ τῆς πρὸς τὸ κακὸν παραθέσεως μᾶλλον γινώσκεται, καὶ ἡ ἐπιθυμία τῶν ἀγαθῶν, ὧν πολλάκις ἐπιθυμοῦμεν σφοδρότερον, τῶν χειρόνων παρεισφθειρομένων, ὥσπερ τὸ ἀγαθὸν τῆς ὑγιείας οἱ νενοσηκότες μᾶλλον καὶ ἴσασι καὶ ἐρῶσιν. Οὐκ ἄρα τῇ θείᾳ προνοίᾳ προσῆκεν ἀναιρεῖν ἐκ τῶν πραγμάτων παντελῶς τὰ κακά. Διὸ καὶ ἐν τῷ Ἡσαΐᾳ λέγεται· „Ὁ ποιῶν εἰρήνην καὶ κτίζων κακά“· καὶ ἐν τῷ Ἀμώς· „Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησεν.“

## LXXII. — Ὅτι οὐκ ἐκβάλλει τὸ συμβεβηκὸς ἀπὸ τῶν πραγμάτων.

Ὡσαύτως οὐδὲ τὰ συμβεβηκότα ἡ θεία πρόνοια καθόλου ἐκ τῶν πραγμάτων ἀναιρεῖ, οὔτ' ἀνάγκην τοῖς πράγμασιν ἐπιτίθησιν· ἡ γὰρ τῆς προνοίας ἐνέργεια οὐκ ἀναιρεῖ τὰς δευτέρας αἰτίας, δι' ὧν μᾶλλον ἀναπληροῦται ὡς τῇ θείᾳ δυνάμει ἐνεργουσῶν. Ἐκ δὲ τῶν προσεχῶν αἰτίων τὰ μὲν ἀναγκαῖα, τὰ δὲ συμβεβηκότα ἀποτελεῖται, ἅτε τῶν προσεχῶν αἰτίων ἐν πολλοῖς καὶ πολλῶν δυναμένων ἐκλείπειν.

Ἔτι, ἡ τοῦ ὄντος εἰς τὸ ἀναγκαῖον καὶ τὸ συμβεβηκὸς διαίρεσις

---

26 Is. 45, 7 27 Am. 3, 6



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καθ' αὑτήν ἐστιν· ἡ δὲ θεία πρόνοια ἀναπληροῖ τοὺς δυνατοὺς τῶν ὄντων βαθμούς. Οὐκ ἄρα τὸ συμβεβηκὸς ἔμελλεν ἀναιρεῖν.

Ἔτι, εἰ ἡ πρόνοια, τὸ πάντα ἀναγκαῖα εἶναι ἐζήτει, ὃ δὲ ἀναγκαῖον εἶναι ἀεί ἐστιν, οὐδὲν ἂν ἦν ἐν τοῖς πράγμασι φθαρτόν, καὶ ἑπομένως οὐδὲ γεννητόν. Τοῦτο δὲ τῇ τελειότητι μάχεται τοῦ παντὸς καὶ τῷ κάλλει τῆς τάξεως, ἧς αἴτιος ὁ Θεὸς τῷ παντί.

## LXXIII. — Ὅτι τὴν τοῦ αὐτεξουσίου ἐλευθερίαν οὐκ ἀναιρεῖ.

Ὡσαύτως οὐδὲ τῇ τῆς θελήσεως ἐλευθερίᾳ μάχεται ἡ θεία πρόνοια· παντὸς γὰρ τοῦ προνοοῦντος ἡ πρόνοια πρὸς τὴν τελειότητα τάττεται τῶν προνοουμένων ἢ ὥστε τυγχάνειν αὐτῆς, ἢ ὥστε αὔξειν, ἢ ὥστε συντηρεῖν·
f. 94 μᾶλλον δὲ ἄξιον | ὑπὸ τῆς προνοίας συντηρεῖσθαι τὸ τῆς τελειότητος ὂν ἢ τὸ τῆς στερήσεως καὶ τοῦ ἀτελοῦς· ἐν δὲ τοῖς ἀψύχοις τὸ τῶν αἰτίων συμβεβηκὸς διὰ τὸ ἀτελές ἐστι καὶ τὴν ἔνδειαν· κατὰ τὴν αὐτῶν γὰρ φύσιν πρὸς ἓν ἀποτέλεσμά εἰσιν ὡρισμένα, ὃ ἀεὶ ἕπεται, ἂν μή τι ᾖ κώλυμα ἢ διὰ τὸ τῆς δυνάμεως ἀτελές, ἢ ἔξωθεν ποιοῦντος, ἢ διὰ τὴν τῆς ὕλης ἀνεπιτηδειότητα, καὶ διὰ τοῦτο αἱ τοιαῦται φυσικαὶ αἰτίαι οὐκ εἰσὶν ἐφ' ἑκάτερον, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον μὲν τὸν αὐτὸν τρόπον τὸ ἴδιον προάγουσιν ἀποτέλεσμα, σπανίως δὲ ἀπολείπονται. Τὸ δὲ τὴν θέλησιν οὐκ ἀναγκαίαν εἶναι αἰτίαν ἐκ τοῦ ταύτης τελείου πρόεισιν, ὅτι μὴ ἔχει δύναμιν ἐφ' ἓν ὡρισμένην, ἀλλ' ἐπ' ἐξουσίας ἔχει τοῦτο ἢ ἐκεῖνο προάγειν τὸ ἀποτέλεσμα, καὶ διὰ τοῦτο ἐφ' ἑκάτερον πέφυκε. Μᾶλλον ἄρα προσήκει τῇ θείᾳ αἰτίᾳ ἡ προνοίᾳ τὴν τῆς θελήσεως ἐλευθερίαν συντηρεῖν ἢ τὸ συμβεβηκὸς ἐν ταῖς φυσικαῖς αἰτίαις.

Ἔτι, δέδεικται τὸ αὐτεξούσιον εἶναι ἐν τῷ Θεῷ, οὗ τῆς ὁμοιότητος τυγχάνει ἐν τῷ ποιεῖν τὸ ἐλευθέρως ποιοῦν· παντὸς δὲ κτίσματος τὸ ἔσχατον τέλος, τὸ τῆς θείας τυχεῖν ὁμοιότητος, καὶ πάντα διὰ τῆς θείας προνοίας πρὸς τὸ ἁρμόζον ἄγονται τέλος. Οὐκ ἄρα διὰ τῆς τοῦ Θεοῦ προνοίας ἡ τῆς θελήσεως ἀναιρεῖται ἐλευθερία.

Ἔτι, πολλὰ ἂν τῶν ἀγαθῶν ἀνῃρεῖτο, ταύτης ἀναιρουμένης· ὁ τῆς ἀνθρωπίνης γὰρ ἀρετῆς ἔπαινος τίνα ἂν ἔχοι χώραν, εἰ μὴ ἐλευθέρως πράττοι ὁ ἄνθρωπος; Ποῦ δ' ἂν εἴη καὶ ἡ τοῦ ἀμειβομένου καὶ κολάζοντος δικαιοσύνη; Ἀπῆν δ' ἂν καὶ τὸ ἐν τοῖς βουλεύμασι περιαθρεῖν, μάτην ὄν, εἰ ἐξ ἀνάγκης πάντα ἀπέβαινεν, καὶ ἦν ἂν οὕτως ἐναντίον τῷ τῆς προνοίας λόγῳ τὸ ὑπὸ τῆς προνοίας γινόμενον.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ Ἐκκλησιαστῇ· „Ὁ Θεὸς ἐξ ἀρχῆς τὸν ἄνθρωπον ὑπεστήσατο, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ τῆς βουλῆς αὐτοῦ“· Καὶ πάλιν· „Πρὸ τοῦ ἀνθρώπου ζωὴ καὶ θάνατος, ἀγαθὸν καὶ κακόν, καὶ τὸ ἀρέσκον

---

36 Eccli. 15, 14 38 Eccli. 15, 18

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

αὐτῷ δοθήσεται αὐτῷ". Ἀναιρεῖται δὲ καὶ ἡ τῶν Στωϊκῶν αἵρεσις, ἣν κατά τινα τῶν αἰτίων τάξιν ἀμεταποίητον, ἣν ὠνόμαζον εἱμαρμένην, πάντα ἐξ ἀνάγκης ἔλεγον προϊέναι.

## LXXIV. — Ὅτι οὐκ ἀναιρεῖ τὴν τύχην καὶ τὸ αὐτόματον.

Εἰ γὰρ ἐναντίον ἐδείχθη τῷ τῆς θείας προνοίας λόγῳ, εἰ πάντα ἐξ ἀνάγκης | συνέβαινεν, καὶ παρὰ τὴν θείαν πρόνοιαν ἂν ἦν, εἰ μηδὲν f. 94v ἦν ἐν τοῖς πράγμασιν ἐξ αὐτομάτου καὶ τύχης· ἐν γὰρ τοῖς ἐπ' ἐλάχιστον καὶ οὐκ ἐξ ἀνάγκης συμβαίνουσιν ἡ τύχη καὶ τὸ αὐτόματον.

Ἔτι, ὅταν τὸ μὴ προκείμενον τέλος ἐκ συνδρομῆς αἰτίας τινὸς πρόϊοι, ὥσπερ ἡ τοῦ ὀφειλέτου εὕρεσις τῷ ἀπιόντι εἰς ἀγορὰν ὥστε ὠνήσασθαί τι πρόεισιν ἐκ τοῦ καὶ τὸν ὀφειλέτην εἰς τὴν ἀγορὰν ἀπελθεῖν, τοῦτ' ἔστι τὸ κατὰ τύχην ἀποβῆναι. Τὸ δὲ πλῆθος καὶ ἡ διαφορὰ τῶν αἰτίων ἐκ τῆς τάξεως τῆς θείας προνοίας καὶ τῆς διαθέσεως πρόεισιν, ὧν συντρεχόντων παρὰ πρόθεσιν, κωλύεταί τι ἢ βοηθεῖται πρὸς τὸ ἴδιον ἀποτέλεσμα. Οὐκ ἄρα ἐναντίον τῇ θείᾳ προνοίᾳ τὸ εἶναί τινα ἐν τοῖς πράγμασιν ἐξ αὐτομάτου καὶ τύχης.

Ἔτι, ἡ ἀνάγκη πρὸς τὴν τελειότητα τοῦ παντὸς εἶναί τινας αἰτίας κατὰ συμβεβηκὸς διὰ τὸ τὰ μὴ ἔχοντα τὴν ἐσχάτην τελειότητα ἐν τῇ αὐτῶν οὐσίᾳ διὰ τῶν συμβεβηκότων λαμβάνειν, ἀνάγκη καὶ οὐ παρὰ τὸν σκοπὸν τῆς προνοίας τὸ εἶναί τινα καὶ γίνεσθαι ἐκ τύχης καὶ αὐτομάτου.

Ἐντεῦθεν ὃ λέγεται ἐν τῷ Ἐκκλησιαστῇ· „Εἶδον μήτε τῶν ταχέων εἶναι τὸν δρόμον, καὶ τὰ λοιπά, ἀλλὰ τὸν χρόνον καὶ τὸ αὐτόματον", ἐν πᾶσι τοῖς ὑποκάτω δηλονότι.

## LXXV. — Ὅτι ἡ θεία πρόνοια καὶ τῶν μερικῶν συμβεβηκότων ἐστίν.

Ἐκ τῶν προειρημένων αὐτόθεν δῆλόν ἐστιν, ὅτι οὐδὲν κωλύει καὶ τούτων πρόνοιαν εἶναι, εἴπερ οὐ μάχεται τῇ προνοίᾳ τὸ συμβεβηκός, καὶ ἡ τύχη, καὶ τὸ αὐτόματον, καὶ τὸ ἑκούσιον. Εἰ δὲ τῶν μερικῶν τούτων οὐ ποιεῖ πρόνοιαν ὁ Θεός, ἢ διὰ τὸ μὴ γινώσκειν αὐτὸν ταῦτά ἐστιν, ἢ διὰ τὸ μὴ βούλεσθαι τὴν αὐτῶν φροντίδα, ἢ διὰ τὸ μὴ δύνασθαι. Ἀλλ' ὅτι μὲν καὶ τὰ μερικὰ γινώσκει, δέδεικται· ἡ δὲ δύναμις αὐτοῦ ἄπειρος· ταῦτά τε οὐκ ἀνεπίδεκτα προνοίας· ὁρῶμεν γὰρ αὐτὰ τῇ τοῦ λόγου μηχανῇ κυβερνώμενα, ὡς δῆλον ἐν τοῖς ἀνθρώποις, καὶ διὰ τοῦ φυσικοῦ νόμου, ὡς δῆλον ἐπὶ μελιττῶν καὶ πολλῶν ἄλλων ἀλόγων· τὸ δὲ μὴ βούλεσθαι, ἀνοίκειον τῷ θέλησιν ἔχοντι παντὸς ἀγαθοῦ, τῶν δὲ κυβερνωμένων τὸ ἀγαθὸν ἐν τῇ τῆς κυβερνήσεως τάξει μάλιστα ἐστίν.

---

13 ἐκ répété deux fois dans A 22 Eccle. 9, 11



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, εἰ πᾶσα αἰτία φροντίζει ὧν προάγει ὡς δυνατόν, καὶ ὁ Θεὸς ἐπιμέλειαν ἔχει τῶν μερικῶν, ὧν ἐστιν αἴτιος· καὶ αἱ ἐνέργειαι γὰρ καὶ αἱ κινήσεις τῶν αἰτιῶν τῶν μερικῶν τῇ θείᾳ προνοίᾳ ὑπόκεινται, καὶ αἱ κινήσεις αὐτῶν τῶν μερικῶν.

f. 95 Ἔτι, εἰ τῶν καθόλου ὁ Θεὸς φροντίζει, καὶ τῶν καθ᾽ ἕκαστα ἀνάγκη φροντίζειν αὐτόν, ὧν πάντων ἀπολωλότων, οὐδὲ τὰ καθόλου μένειν δύναται· ἄλλως δ᾽ ἄν, ἀτελὴς καὶ οὐ σοφὴ ἦν ἡ αὐτοῦ πρόνοια. Οὐ προνοεῖται δὲ τῶν καθ᾽ ἕκαστα μέχρι τῆς ἐν τῷ εἶναι αὐτῶν συντηρήσεως, ἀλλὰ καὶ πάντων τῶν περὶ αὐτὰ συμβαινόντων, ἃ πρὸς τὴν αὐτῶν συντήρησιν ἢ φθορὰν εἰσι τεταγμένα· οὐδὲν γὰρ δύναται συμβαίνειν περὶ τὰ μερικά τινος εἴδους, ὃ μὴ δυνατὸν ἀνάγειν κατά τινα τρόπον εἰς τὰς ἀρχὰς τοῦ εἴδους ἐκείνου. Οὕτω τοίνυν οὐ μᾶλλον ὑπόκεινται τὰ μερικὰ τῇ προνοίᾳ κατὰ τὴν ἐν τῷ εἶναι συντήρησιν ἢ κατὰ τὰ ἄλλα.

Ἔτι, ὡς ἡ θεωρητικὴ γνῶσις τελειοῦται ἐν τῷ καθόλου, οὕτως ἡ πρακτικὴ ἐν τῷ μερικῷ· τῆς μὲν γὰρ τέλος, ἡ ἀλήθεια, ἐν τοῖς ἀΰλοις πρώτως οὖσα καὶ τοῖς καθόλου, τῆς δέ, ἡ πρᾶξις περὶ τὰ καθ᾽ ἕκαστα οὖσα· ὅθεν ὁ ἰατρὸς οὐ καθόλου τὸν ἄνθρωπον, ἀλλὰ τὸν τινὰ ἰατρεύει. Ἡ δὲ πρόνοια ὡμοίωται τῇ πρακτικῇ γνώσει, τακτικὴ οὖσα τῶν πραγμάτων πρὸς τὸ τέλος. Ἦν ἂν οὖν ἡ θεία γνῶσις ἀτελής, εἰ μέχρι τῶν καθ᾽ ἕκαστα οὐ προήει.

Ἔτι, ὡς ἐν τῇ θεωρητικῇ τελειότερος ὃς πρὸς τῇ καθόλου καὶ τὴν ἰδίαν τῶν πραγμάτων ἔχει γνῶσιν, πολλῷ πλέον ἐν τῇ πρακτικῇ τελειότερος ὁ μὴ μόνον ἐν τῷ καθόλου, ἀλλὰ κατὰ μέρος οἰκονομῶν τὰ πράγματα καὶ διατιθεὶς πρὸς ἐνέργειαν. Ἡ δὲ θεία πρόνοια τελειοτάτη ἐστίν.

Ἔτι, εἰ τοῦ ὄντος καθόσον ὂν προνοεῖ ὁ Θεός, ὅτι καὶ αἴτιος αὐτοῦ, τὰ δὲ μερικὰ καὶ καθ᾽ ἕκαστον ὄντα εἰσί, καὶ μᾶλλον ὄντα ἢ τὰ καθόλου, οὐδὲ καθ᾽ αὑτά εἰσι τὰ καθόλου, ἀλλ᾽ ἐν τοῖς μερικοῖς, δῆλον ὅτι καὶ τῶν καθ᾽ ἕκαστα ἡ θεία ἐστὶ πρόνοια.

Ἔτι, τῆς θείας ἀγαθότητος μετέχει τὰ καθ᾽ ἕκαστα καὶ τὰ συμβεβηκότα· ὑπόκεινται δὲ πάντα τῇ θείᾳ προνοίᾳ καθόσον ὑπ᾽ αὐτῆς τάττονται πρὸς τὸ ἔσχατον τέλος, ὅ ἐστιν ἡ τοῦ Θεοῦ ἀγαθότης, ὡς εἶναι τὴν μετοχὴν τῆς θείας ἀγαθότητος διὰ τῆς θείας προνοίας ἐν τοῖς κτίσμασιν. Ἀνάγκη τοίνυν τὴν θείαν πρόνοιαν καὶ πρὸς ταῦτα ἑαυτὴν ἐκτείνειν.

Ἐντεῦθέν ἐστιν ὃ λέγεται ἐν τῷ ἕκτῳ τοῦ κατὰ Ματθαῖον· „Δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται εἰς τὴν γῆν ἄνευ τοῦ Πατρός μου“· καὶ ἐν τῷ τῆς Σοφίας ὀγδόῳ· „Ἅπτεται ἐκ τοῦ
f. 95v ἐσχάτου | μέχρι τοῦ ἐσχάτου ἰσχυρῶς“, τουτέστιν ἀπὸ τῶν πρώτων κτισμάτων μέχρι καὶ τῶν ἐσχάτων. Ἐκβάλλεται δὲ καὶ ἡ αἵρεσις τῶν λεγόν-

---

18 *ὡμωίωται* A  34 Matth. 10, 29  36 Sap. 8, 1

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

των τὴν θείαν πρόνοιαν μὴ μέχρι καὶ τῶν μερικῶν ἑαυτὴν ἐκτείνειν, ἣν δὴ δόξαν Ἀριστοτέλει τινὲς ἀνατιθέασιν, εἰ καὶ ἐκ τῶν λόγων αὐτοῦ ληφθῆναι οὐ δύναται.

## LXXVI. — Ὅτι ἡ θεία πρόνοια ἀμέσως πάντων ἐστὶ τῶν καθ' ἕκαστα.

Τινὲς δὲ συνεχώρησαν μὲν τὴν θείαν πρόνοιαν μέχρι τῶν καθ' ἕκαστα προϊέναι, μεσιτευόντων μέντοι τινῶν αἰτίων· ὑπέθεντο γὰρ τριπλῆν εἶναι τὴν πρόνοιαν, πρώτην μὲν τὴν τοῦ ἄκρου Θεοῦ, ὃς πρώτως προνοεῖ τῶν ἀσωμάτων καὶ νοερῶν ὡς οἰκείων, ἔπειτα καὶ τοῦ κόσμου παντός, ὅσον πρὸς τὰ γένη καὶ εἴδη καὶ τὰς καθόλου αἰτίας, ἤτοι τὰ οὐράνια σώματα· δευτέραν δέ, ἣ προνοεῖ τῶν καθ' ἕκαστα, ὅσον πρὸς τὴν γένεσιν αὐτῶν καὶ φθορὰν καὶ τὰς ἄλλας μεταβολάς, ἣν τοῖς τὸν οὐρανὸν περιϊοῦσι θεοῖς ἀπέδωκαν· τρίτην, ἣ προνοεῖ τῶν τῇ ἀνθρωπίνῃ ζωῇ προσηκόντων, καὶ ταύτην δαίμοσί τισιν ἀπέδωκαν περὶ τὴν γῆν στρεφομένοις, οἳ τῶν ἀνθρωπίνων πράξεων κατ' αὐτούς εἰσι φύλακες· ἐξαρτῶσι δὲ τῆς πρώτης τὴν δευτέραν καὶ τρίτην πρόνοιαν· ὁ γὰρ πρῶτος Θεὸς τοὺς δευτέρους καὶ τρίτους προνοητὰς κατεστήσατο. Αὕτη ἡ δόξα εἰς Πλάτωνα μὲν ἀναφέρεται, τῇ δὲ καθολικῇ πίστει συνᾴδει μέν, ὅτι τὴν πάντων πρόνοιαν ἐπὶ τὸν Θεὸν ἀναφέρει ὡς εἰς πρῶτον ποιητήν, μάχεται δὲ κατὰ τὸ τέλος, ὅτι οὐ πάντα τὰ μερικὰ τῇ θείᾳ φησὶν ὑποκεῖσθαι προνοίᾳ, καίτοι γε ὁ Θεὸς ἄμεσον ἔχει τῶν καθ' ἕκαστα γνῶσιν, οὐ μόνον ἐν ταῖς αὐτῶν αἰτίαις ταῦτα γινώσκων, ἀλλὰ καὶ ἐν αὐτοῖς, ὡς δέδεικται ἐν τῷ πρώτῳ· ἄτοπον δὲ τὰ καθ' ἕκαστον γινώσκοντα, τὴν τάξιν μὴ θέλειν αὐτῶν, ἐν ᾗ τὸ τῶν πραγμάτων ἀγαθὸν ἐξαιρέτως ἐστὶν τῆς θελήσεως αὐτοῦ, πάσης ἀγαθότητος οὔσης ἀρχῆς. Ἀνάγκη τοίνυν, ὥσπερ ἀμέσως γινώσκει τὰ μερικά, οὕτω καὶ ἀμέσως τὴν τάξιν αὐτῶν ὑφιστάνειν· εἰ γὰρ μὴ προενόει τῶν ὑποκάτω καὶ μερικῶν ἀμέσως, ἢ διὰ τὸ καταφρονεῖν τοῦτ' ἂν ἦν, ἢ διὰ τὸ μὴ ἐλαττοῦσθαι τὴν θείαν ἀξίαν, ὥς τινες λέγουσιν. Τοῦτο δὲ ἄλογον· μεῖζον γάρ ἐστι τῆς τινῶν τάξεως προνοεῖν καὶ ταύτης φροντίζειν ἢ ἐν αὐτοῖς ἐνεργεῖν. Ἀλλ' ὁ Θεὸς ἐν πᾶσιν ἐδείχθη ἐνεργῶν, καὶ τοῦτο οὐδὲν αὐτοῦ τῇ ἀξίᾳ λυμαίνεται, ἀλλὰ μᾶλλον τῇ ὑπερκειμένῃ | καὶ f. 96 καθόλου τούτου δυνάμει προσήκει. Οὔτε καταφρονεῖν ἄρα τούτων αὐτῷ προσῆκόν ἐστιν, οὔτ' ἀνάξιον τῆς ἀξίας αὐτοῦ, εἰ περὶ τὰ καθ' ἕκαστα ταυτὶ πρόνοιαν ἄμεσον ἔχει.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ πρὸς Ῥωμαίους· „Τὰ ἀπὸ Θεοῦ τεταγμένα εἰσίν"· καὶ ἐν τοῖς Κριταῖς· „Σὺ ἐποίησας τὰ πρότερα, κἀκεῖνα μετὰ τὰ ἄλλα ἀνελογίσω, καὶ τοῦτο γέγονεν, ὅτι αὐτὸς ἠθέλησας".

---

36 Rom. 13, 1     37 Iudith, 9, 4

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## LXXVII. — Ὅτι ἡ τῆς θείας προνοίας ἀποπλήρωσις διὰ μέσον τῶν δευτέρων αἰτίων ἐστίν.

Δυοῖν δὲ περὶ τὴν πρόνοιαν ζητουμένων, ὧν πρῶτον, ἡ τάξις αὐτή, δεύτερον, ἡ τῆς τάξεως ἀποπλήρωσις, καὶ τοῦ μὲν πρώτου διὰ τῆς γνωστικῆς δυνάμεως γινομένου καὶ τοῖς ὑψηλοτέροις προσήκοντος, τοῦ δὲ λοιποῦ διὰ τῆς πρακτικῆς γινομένου δυνάμεως, ἄμφω ταῦτα ἐν τῷ Θεῷ ἐσχάτως τέλεια εὑρίσκονται, ἐν ᾧ καὶ τελειοτάτη σοφία πρὸς τὸ τάττειν ἐστί, καὶ τελειοτάτη πρὸς τὸ ποιεῖν δύναμις, καὶ διὰ τοῦτο ἀναγκαῖον αὐτὸν τῇ αὐτοῦ σοφίᾳ καὶ τὰς τῶν ἐλαχίστων τάξεις διατιθέναι· ἀποπληροῖ δὲ τὰ ἐλάχιστα διὰ τῶν ταπεινοτέρων δυνάμεων, δι᾽ ὧν ἐνεργεῖ, ὥσπερ ἡ καθόλου δύναμις καὶ ὑψηλοτέρα διὰ τῆς ταπεινοτέρας καὶ μερικῆς. Καὶ διὰ τοῦτο προσῆκον ἦν τὰς ταπεινοτέρας ποιητικὰς δυνάμεις ἀποπληρωτικὰς εἶναι τῆς θείας προνοίας.

Ἔτι, τῇ τοῦ ἄρχοντος ἀξίᾳ προσῆκόν ἐστι πολλοὺς ἔχειν καὶ ταπεινοτέρους τῆς ἀρχῆς ὑπηρέτας, ὡς τοσοῦτον ὑψηλοτέρας καὶ μείζονος οὔσης, ὅσῳ πλείους αὐτῇ διαφόρων βαθμῶν ὄντες ὑπόκεινται.

Ἔτι, τῇ τελειότητι τῆς διὰ πάντων προνοίας καὶ τῆς ἐκεῖθεν χορηγηθείσης τῷ παντὶ τάξεως ἁρμόζει τὸ ἐκ τοῦ πληρώματος τῶν μᾶλλον ἐχόντων ἀγαθόν τι προϊέναι τοῖς ἧττον ἔχουσιν, ὥστε διὰ τῶν μᾶλλον τῆς θείας ἀγαθότητος μετεχόντων εὐλόγως ἡ τῆς θείας ἀρχῆς ὑπηρεσία πληροῦται.

Ἔτι, ὥσπερ ἀποτελεσμάτων τάξις ἐστίν, οὕτω καὶ αἰτίων ἐχρῆν εἶναι τάξιν, ὡς ἂν διήκῃ τὸ τῆς τάξεως ἀγαθὸν διὰ πάντων, ὅσῳ καὶ ἡ ἐν τοῖς αἰτίοις τάξις τιμιωτέρα ἐστὶν τῆς ἐν τοῖς ἀποτελέσμασιν. Καὶ διὰ τοῦτο ἔδει μέσα εἶναι αἴτια τῇ θείᾳ προνοίᾳ ὑπηρετούμενα, ὡς ἐν τοῖς Ψαλμοῖς· „Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ“· Καὶ πάλιν· „Πῦρ, χάλαζα, καὶ τὰ ἑξῆς, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ“.

f. 96 v

## LXXVIII. — Ὅτι τὰ ἄλλα τῶν νοερῶν μεσιτευόντων ὑπὸ Θεοῦ διοικοῦνται.

Ἐπεὶ δὲ τῇ θείᾳ προνοίᾳ προσήκει τὸ σύμφωνον τὴν ἐν τοῖς πράγμασι σῴζεσθαι τάξιν, τάξις δέ ἐστι τὸ ἀπὸ τῶν ἄκρων μέχρι τῶν ἐσχάτων ἀναλόγως κατιέναι, ἀνάγκη τὴν θείαν πρόνοιαν κατά τινα ἀναλογίαν καὶ μέχρι τῶν ἐσχάτων προϊέναι πραγμάτων· αὕτη δέ ἐστιν ἡ τάξις, ἵν᾽ ὥσπερ ὑπὸ τὸν Θεόν εἰσι τὰ ἀκρότατα τῶν κτισμάτων καὶ ὑπ᾽ αὐτοῦ διοικοῦνται, οὕτω καὶ τὰ ὑποκάτω ὑπὸ τὰ ὑπερέχοντα κτίσματα ὦσιν, καὶ ἄρχωνται ὑπ᾽ ἐκείνων. Τῶν δὲ κτισμάτων πάντων ἀνωτέρω εἰσὶ τὰ λογικά, ὡς ἐκ

---

26 Ps. 102, 21 27 Ps. 148, 8

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τῶν εἰρημένων φανερόν· Ὁ λόγος ἄρα τῆς προνοίας ἀπαιτεῖ τὰ λοιπὰ κτίσματα διὰ τῶν λογικῶν διοικεῖσθαι, καὶ ὅτι τὰ λογικὰ κτίσματα ἀμφωτέρων μετέχουσι τῶν δυνάμεων, γνωστικῆς δηλαδὴ καὶ πρακτικῆς, τὰ δὲ λοιπὰ τῆς πρακτικῆς μόνον, ἃ δεῖ διὰ τῶν λογικῶν ὑπὸ τῆς θείας διοικεῖσθαι προνοίας· οὐ γὰρ εἰκῇ τοῖς λογικοῖς καὶ ἄμφω ἐδόθησαν αἱ δυνάμεις· καὶ ὅτι αἱ μερικαὶ δυνάμεις ὑπὸ τῶν ὁλικῶν πεφύκασι κινεῖσθαι δυνάμεων, ὃ φανερὸν ἐπὶ τῆς φύσεως καὶ τῆς τέχνης· ἡ δὲ νοερὰ δύναμις, καθολικωτέρα πάσης δυνάμεως πρακτικῆς· ἡ μὲν γὰρ νοερὰ καθόλου περιέχει εἴδη· πᾶσα δὲ πρακτικὴ μόνον εἶδός τι ἴδιόν ἐστιν ἐνεργοῦντος τινός. Καὶ ἀνάγκη οὕτω διὰ τῶν νοερῶν δυνάμεων κινεῖσθαι καὶ διοικεῖσθαι πάντα τὰ ἄλλα κτίσματα.

## LXXIX. — Ὅτι αἱ ὑποβεβηκυῖαι χωρισταὶ οὐσίαι διὰ τῶν ὑψηλοτέρων διοικοῦνται.

Ἐπεὶ γὰρ καὶ τῶν νοερῶν κτισμάτων ἕτερα ἑτέρων εἰσὶν ὑψηλότερα, ὡς ἐκ τῶν ἀνωτέρω φανερόν, ἀνάγκη τὰς ὑποβεβηκυίας τῶν νοερῶν φύσεων διοικεῖσθαι διὰ τῶν ὑψηλοτέρων· αἵ τε γὰρ καθολικώτεραι δυνάμεις κινητικαί εἰσι τῶν μερικῶν, ὡς εἴρηται, καὶ αἱ πλησιέστεραι τῇ ἀρχῇ ἄρχουσι τῶν μᾶλλον διϊσταμένων, ὃ καὶ ἐπὶ τῶν θεωρητικῶν καὶ πρακτικῶν ἐπιστημῶν δῆλόν ἐστιν· ἥ τε γὰρ ἐξ ἑτέρας λαμβάνουσα τὰς ἀρχὰς ὑπ' ἐκείνην ἐστίν, καὶ ἡ πλησιεστέρα τῷ τέλει, ὅπερ ἐστὶν ἀρχὴ ἐν τοῖς πρακτικοῖς, ἀρχιτεκτονική ἐστι πρὸς τὴν μᾶλλον διϊσταμένην αὐτοῦ.

Ἔτι, αἱ ὑψηλότεραι νοεραὶ οὐσίαι δαψιλέστερον τῆς θείας σοφίας δέχονται τὴν ἐπίρροιαν, ᾗ σοφίᾳ θείᾳ διοικοῦνται τὰ πάντα, καὶ οὕτω διοικοῦσιν αὗται τὰς ἧττον αὐτῆς μετεχούσας· λέγονται δὲ τὰ ἀνωτέρω πνεύματα καὶ ἄγγελοι, ὡς ἄγοντες τοὺς ὑποδεεστέρους τῷ ἐξαγγέλλειν, ὡς ἐν Ψαλμοῖς· „Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα", καὶ τὰ ἑξῆς.

## LXXX. — Περὶ τῆς διοικήσεως τῶν οὐρανίων ταγμάτων. f. 97

Ἐπεὶ δ' ὡς δέδεικται, ὑπὸ τῶν ἀσωμάτων ἄρχονται τὰ σωματικά, τῶν δὲ σωματικῶν ἔστι τις τάξις, ἀνάγκη τὰ μὲν ἀνώτατα τῶν σωμάτων ὑπὸ τῶν ἀνωτάτων νοερῶν οὐσιῶν ἄρχεσθαι, διὰ δὲ τῶν ὑποβεβηκυιῶν τὰ ὑποβεβηκότα. Ἐπεὶ δ' ὅσῳ τις οὐσία ὑψηλοτέρα ἐστίν, τοσοῦτον ἡ ταύτης δύναμις καθολικωτέρα ἐστίν, ἡ δὲ τῆς νοερᾶς οὐσίας δύναμις τῆς τοῦ σώματος δυνάμεως ἐστὶ καθολικωτέρα, αἱ μὲν ἀνώταται τῶν νοερῶν οὐσιῶν δυνάμεις εἰσὶν οὐ διά τινος σωματικῆς δυνάμεως ἐξελισσόμεναι,

---

13 Ce titre est mis en note à la place de celui que porte le texte, qui n'est autre que celui du chapitre précédent, reproduit par distraction: *Ὅτι τὰ ἄλλα τῶν νοερῶν*, etc. 27 Ps. 103, 4

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ διὰ τοῦτο οὐκ εἰσὶ σώμασιν ἡνωμέναι· αἱ δὲ ὑποβεβηκυῖαι δυνάμεις ἔχουσι μερικὰς διά τινων σωματικῶν ἐξελισσομένας ὀργάνων, καὶ διὰ τοῦτ᾽ ἀνάγκη σώμασι ταύτας ἑνοῦσθαι· ὡς δὲ αἱ ἀνωτέρω τῶν νοερῶν δυνάμεων καθολικωτέρας εἰσὶ δυνάμεως, οὕτω καὶ τελειοτέραν τὴν θείαν διοίκησιν παρὰ τοῦ Θεοῦ δέχονται, καὶ τελειοτέραν τῆς τάξεως γνῶσιν, καὶ ἀμέσως παρ᾽ αὐτοῦ, ἧς δὴ τελειοτάτης ἀνάγκη δι᾽ αὐτῶν τὰς κατωτέρω τυγχάνειν, ὥσπερ προείρηται τὴν καθόλου τοῦ μαθητοῦ γνῶσιν διὰ τὴν τοῦ διδασκάλου γνῶσιν, γινώσκοντος κατὰ τὸ ἰδικόν, πρὸς τὸ τέλειον ἄγεσθαι. Ἐπεὶ δὲ πρώτη ἀρχὴ ἐν τῇ τῆς προνοίας διατάξει τὸ τέλος ἐστί· δευτέρα, τὸ τοῦ ποιοῦντος εἶδος· τρίτη, ἡ τῆς τάξεως τῶν ἀποτελεσμάτων διάθεσις, καὶ διὰ τοῦτο κἂν ταῖς τέχναις ἡ μὲν θεωροῦσα τὸ τέλος ἀρχιτεκτονική ἐστιν, ἡ δὲ θεωροῦσα τὸ εἶδος, ἐπιτακτικὴ τῆς ἐργολαβικῆς, ὡς ἔχουσιν κυβερνητικὴ καὶ ναυπηγικὴ καὶ δρυτομική, οὕτω καὶ ἐν τοῖς νοῖς ἔστι τις τάξις ὁμοία. Οἳ μὲν γὰρ τῆς προνοίας τῶν ὅλων τὴν γνῶσιν ἐν αὐτῷ τῷ ἐσχάτῳ τέλει λαμβάνουσιν, ὅπερ ἡ θεία ἀγαθότης ἐστίν, ἕτεροι μέντοι ἑτέρων καθαρώτερον, καὶ οὗτοι λέγονται σεραφίμ, οἷον καίοντες ἢ ἐμπρησταί. Οἱ δεύτεροι λέγονται χερουβίμ, ἤγουν πλήρωσις ἐπιστήμης, ἐφόσον τῷ γνωστῷ εἴδει τελειοῦται ἡ ἐπιστήμη. Ἡ δὲ τρίτη τάξις λέγονται θρόνοι, ὡς πρὸς πάντας τὰς θείας ὑποδοχὰς οἰκείως ἐπιτήδειοι.

Μετὰ ταύτην τὴν τριάδα τῆς τάξεως, ἄλλη τριάς ἐστίν, κυριότητες ὀνομαζομένη, δυνάμεις, ἐξουσίαι. Καὶ τῶν μὲν κυριοτήτων ἐστὶν τὸ ἐπιτάττειν, ὃ δεήσει τοὺς ἄλλους ἀποπληροῦν· τῶν δὲ δυνάμεων ἐστὶν
f. 97 v | ἀποπληροῦν, εἴ τι καθόλου καὶ πρῶτον ἐν ταῖς θείαις διακονίαις ἀποπληρωθῆναι προσήκει, ὃ δυνάμεως ἐστὶ δραστηριωτέρας, καὶ διὰ τοῦτο οὕτως ὀνομάζονται. Ταύταις ἡ κίνησις τῶν οὐρανίων σωμάτων ἀποδίδοται, διὸ καὶ δυνάμεις οὐρανῶν ὀνομάζονται ἐν τῷ κατὰ Λουκᾶν, καὶ ἡ τῶν θεοσημειῶν ἐνέργεια. Τῶν δὲ ἐξουσιῶν ἐστὶν τὰς ἐναντίας ἄγχειν δυνάμεις καὶ ἀσύγχυτον τὴν περὶ τὰς θείας ὑποδοχὰς τάξιν διατηρεῖν.

Ἡ τρίτη διακόσμησις ἀμέσως τῶν ἀνθρωπίνων πραγμάτων προΐσταται· ἔστι μέντοι γε καὶ ἐν ταύτῃ τάξις τριπλῆ. Τὸ μὲν γὰρ κοινότερον τῶν ἀνθρωπίνων ἀγαθῶν, οἷον ἔθνους ἢ πόλεως ἢ συνοικίας, τῇ τῶν ἀρχῶν τάξει προσήκει· ὅθεν αἱ τῶν βασιλειῶν διαθέσεις καὶ βασιλέων, καὶ μεταβολαὶ αὐτῶν ἐξ ἔθνους εἰς ἔθνος, καὶ αἱ πρὸς τοὺς ἄρχοντας ὑποθῆκαι περὶ τῶν τῇ ἀρχῇ συμφερόντων ταύτῃ τῇ τάξει ἀνήκουσιν. Τὸ μέντοι ἑνὶ μὲν ἀνθρώπῳ ἀνῆκον ἀγαθόν, πολλοῖς δὲ χρησιμεῦον, ὡς τὰ περὶ πίστεως καὶ θείας λατρείας, τοῖς ἀρχαγγέλοις προσήκει, ὥσπερ ὁ ἀρχάγγελος Γαβριὴλ τὴν τοῦ Λόγου σάρκωσιν εὐηγγελίσατο τῇ μακαρίᾳ παρθένῳ, τὴν ὑπὸ πάντων πιστευθησομένην. Τὰ δὲ μερικῶς τινι προσήκοντα ἀνθρώπινα ἀγαθὰ τῇ τάξει τῶν ἀγγέλων προσήκουσιν, οἳ καὶ φύλακες εἶναι

Ε.Υ.Δ της Κατ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

τῶν ἀνθρώπων λέγονται, κατ᾽ ἐκεῖνο τῶν Ψαλμῶν, ὅτι „τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε". Ἔστι δὲ πάσαις ταῖς τεταγμέναις δυνάμεσι τοῦτο κοινόν, τὸ τῇ δυνάμει τῆς ἀνωτέρας δυνάμεως πάσας τὰς ὑποκάτω ἐνεργεῖν· ὅθεν ὃ τῇ τάξει τῶν σεραφὶμ προσήκειν ἐλέγομεν, πᾶσαι αἱ κατώτεραι τῇ δυνάμει τούτων περαίνουσιν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τάξεων τοῦτο δεῖ θεωρεῖν.

## LXXXI. — Ὅτι αἱ ὑποβεβηκυῖαι νοεραὶ οὐσίαι ταῖς ἀνωτέραις διοικοῦνται.

Αἱ δὲ ἀνθρώπιναι ψυχαί, τὴν ἐσχάτην τῶν νοερῶν οὐσιῶν ἔχουσαι τάξιν, ὡς εἴρηται, δι᾽ ἐκείνων τῶν ὑπερκειμένων εἰκότως τοῦ οἰκείου τυγχάνουσιν ἀγαθοῦ, οὗ τυχεῖν καθάπαξ ἀδυνατοῦσι διὰ τὴν τοῦ νοεροῦ φωτὸς ἀσθένειαν, μὴ ὑπ᾽ ἐκείνων τῶν πνευμάτων βοηθούμεναι.

Ἐπεὶ δέ τι τοῦ νοεροῦ φωτὸς μετέχει ὁ ἄνθρωπος, τούτῳ κατὰ τὴν τῆς θείας προνοίας τάξιν τὰ ἄλογα ὑποτάττονται ζῷα, ἅπερ νοῦ κατ᾽ οὐδένα μετέχουσι τρόπον. | Ὅθεν ἐν τῇ Γενέσει λέγεται, μετὰ τὸ εἰπεῖν· „Καὶ f. 98
ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν", τουτέστι κατὰ τὸν νοῦν· „Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης", καὶ τὰ ἑξῆς. Τὰ δὲ ἄλογα ἐστέρηνται μὲν νοῦ, γνῶσιν δέ τινα ἔχοντα, τῶν ἐστερημένων γνώσεως πάντῃ προτιμῶνται, τῶν φυτῶν δηλαδή, καὶ τῶν ἄλλων. Διὰ τοῦτο· „Καὶ ἔστωσαν ὑμῖν, φησίν, εἰς βρῶσιν τὰ φυτά, καὶ πᾶσι τοῖς ζῴοις τῆς γῆς". Αὐτῶν δὲ τῶν παντάπασι γνώσεως ἐστερημένων τῷ ἐν τῷ ποιεῖν ἰσχυροτέρῳ ὑπόκειται τὸ ἀσθενέστερον.

Ὡσαύτως καὶ ἐν αὐτοῖς τοῖς ἀνθρώποις εὑρίσκεταί τις τάξις. Οἱ γὰρ κατὰ νοῦν ὑπερέχοντες ἄρχουσι φύσει· οἱ δὲ τὸν μὲν νοῦν ἀσθενέστεροι, τῷ δὲ σώματι δυνατώτεροι, δουλεύειν ἐτάχθησαν, ὡς ἐν τῷ Σολομῶντι λέγεται· „Ἀνὴρ δὲ μωρὸς τῷ σοφῷ δουλεύσει"· καὶ ἐν τῇ Ἐξόδῳ· „Ἔκλεξαι ἀπὸ παντὸς τοῦ πλήθους ἄνδρας σοφοὺς καὶ φοβουμένους τὸν Θεόν, οἳ κρινοῦσι τὸν λαὸν κατὰ πάντα καιρόν". Ὥσπερ δὲ ἐν ἑνὶ ἀνθρώπῳ ἀταξία συμβαίνει, τοῦ μὲν νοῦ τῇ αἰσθητικῇ δυνάμει δουλεύοντος, τῆς δὲ πρὸς τὴν τοῦ ἀνεπιτηδείου σώματος κίνησιν ἑλκομένης, οὕτω κἂν τῷ πλήθει καὶ τῇ ἀρχῇ τῶν ἀνθρώπων πρόεισιν ἀταξία, ὅταν τις μὴ κατὰ τὴν ἐν τῷ νῷ ὑπεροχὴν ἄρχειν αἱρεθῇ, ἀλλὰ σωματικῇ δυνάμει νοσφίζηται τὴν ἀρχήν, ὡς ἐν τῷ Ἐκκλησιαστῇ λέγεται· „Ἔστι πονηρὸν ὃ εἶδον ὑπὸ τὸν ἥλιον· ἄρχοντα μωρὸν ἐν ἀξίᾳ ὑπερεχούσῃ". Αὕτη δὲ ἡ ἀταξία τὴν θείαν οὐκ ἀναιρεῖ πρόνοιαν· πρόεισι γὰρ θείᾳ παραχωρήσει διὰ τὴν ἀσθένειαν τῶν ὑποκάτω ποιούντων, ὡς εἴρηται καὶ περὶ τῶν ἄλλων κακῶν. Ἀλλ᾽ οὐδὲ παντελῶς δι᾽ αὐτὴν ἡ φυσικὴ διαστρέφεται τάξις·

---

1 Ps. 90, 11 16 Gen. 1, 26 21 Gen. 29-30 34 Eccle. 10, 5

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀσθενὴς γάρ ἐστιν ἡ τῶν ἀνοήτων ἀρχή, μὴ τῇ βουλῇ τῶν σοφῶν ἰσχυροποιουμένη· καὶ ἐπεὶ ὁ βουλευόμενος τοῦ τὴν βουλὴν λαμβάνοντος ἄρχει καί πως ἐξουσιάζει, λέγεται ἐν ταῖς Παροιμίαις, ὅτι „δοῦλος σοφὸς ἄρξει υἱῶν ἀνοήτων". Φανερὸν τοίνυν, ὅπως ἡ θεία πρόνοια πᾶσιν ἐπιτίθησι τάξιν, ἵν' ᾖ φανερὸν τὸ ἐν τῇ πρὸς Ῥωμαίους λεγόμενον, ὅτι „τὰ παρὰ τοῦ Θεοῦ τεταγμένα εἰσίν".

f. 98v **LXXXII. — Ὅτι τὰ ὑποκάτω σώματα ὑπὸ Θεοῦ διὰ τῶν ὑπεράνω κινοῦνται.**

Ἵνα δὲ ἡ διάθεσις τῆς θείας προνοίας ἀναλόγως μέχρι καὶ τῶν ἐσχάτων κατίῃ, καὶ τὰ ὑποκάτω σώματα διὰ τῶν ἀνωτέρων διοικοῦνται, ὡς ἐπὶ τῶν νοερῶν οὐσιῶν εἴρηται.

Ὅσῳ γάρ τι σῶμα ἀνώτερόν ἐστιν, καὶ εἰδικώτερόν ἐστιν, καὶ διὰ τοῦτο εὐλόγως ὁ τοῦ ἀνωτέρου τόπος καὶ τοῦ κατωτέρου ἐστίν. Ὡς γὰρ τοῦ τόπου τὸ περιέχειν, οὕτω καὶ τοῦ εἴδους ἐστίν· οὕτω τὸ ὕδωρ τῆς γῆς ἐστιν εἰδικώτερον, καὶ τοῦ ὕδατος ὁ ἀήρ, καὶ τὸ πῦρ τοῦ ἀέρος. Τὰ δὲ οὐράνια σώματα, ἀνώτερα τῶν ὑποκάτω σωμάτων, ὥστε καὶ εἰδικώτερα καὶ μᾶλλον ποιητικά, καὶ διὰ τοῦτο δρῶσιν εἰς τὰ ὑποκάτω, καὶ τούτοις τὰ ὑποκάτω διατίθενται.

Καὶ ὅτι καθολικωτέρας εἰσὶ δυνάμεως, ὡς ἄνευ ἐναντιότητος ὄντα καὶ τέλεια ἐν ταῖς αὐτῶν φύσεσιν, ὃ καὶ τῇ κινήσει δῆλον αὐτῶν. Τὰς δὲ καθόλου δυνάμεις δεῖ κινητικὰς εἶναι τῶν μερικῶν, ὡς ἐδείχθη.

Καὶ ὅτι ὁμοιότερά εἰσι ταῖς χωρισταῖς οὐσίαις, δι' ὧν οἰκονομοῦνται τὰ ἄλλα· ἄφθαρτα γὰρ ὡς ἐκεῖνα, καὶ ἐγγύτερα ὡς ἀμέσως κινούμενα, καὶ διὰ τοῦτο δι' ἐκείνων τὰ ὑποκάτω διεξάγεσθαι δεῖ.

Καὶ ὅτι ὁμοιότερά εἰσι τῇ πρώτῃ ἀκινήτῳ ἀρχῇ τῆς κινήσεως, ὡς τὰ κινούμενα καθ' ἓν μόνον εἶδος κινήσεως ὁμοιότερα τῇ ἀκινησίᾳ τῶν κατὰ πᾶν εἶδος κινήσεως κινουμένων· καὶ διὰ τοῦτο ἀρχικά εἰσι τὰ ἄνω τῶν κάτω καὶ κινητικά. Οὕτως οὖν φανερόν, ὅτι τὰ ὑποκάτω σώματα ὑπὸ Θεοῦ διὰ τῶν ὑπεράνω κινοῦνται.

**LXXXIII.**

Τούτοις προσέκειτο ἐπίλογος τῶν προειρημένων.

**LXXXIV. — Ὅτι τὰ οὐράνια σώματα οὐ δύνανται αἴτια εἶναι τῶν περὶ τὸν νοῦν.**

Δέδεικται γὰρ τὸ τὰ ὑποκάτω διὰ τῶν ὑπεράνω διοικεῖσθαι τάξιν εἶναι τῆς θείας προνοίας· ὁ δὲ νοῦς τῇ τῆς φύσεως τάξει πάντων τῶν

3 Prov. 17, 2 5 Rom. 13, 1

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

σωμάτων ὑπέρκειται· ἀδύνατον ἄρα τὰ οὐράνια σώματα εἰς τὸν νοῦν ἄντικρυς δρᾶν. Οὐκ ἄρα δύνανται καθ' αὑτὰ τῶν περὶ τὸν νοῦν αἴτια εἶναι.

Ἔτι, πᾶν σῶμα μετὰ κινήσεων ποιεῖ, καθόσον κινεῖ τὸ πάσχον ὑπ' αὐτοῦ ἐν τῷ κινεῖσθαι· τὰ δὲ περὶ τὸν νοῦν παντελῶς εἰσιν ἔξω κινήσεως, εἴ τις καθ' αὑτὸ λέγοι. Ἠρεμίᾳ μὲν οὖν καὶ οὐ κινήσεσιν ἡ ψυχὴ φρόνιμος καὶ ἐπιστήμων γίνεται, ὡς ἐν ἑβδόμῳ τῶν Φυσικῶν λέγεται. Οὐκ ἄρα τὰ οὐράνια σώματα αἴτια καθ' αὑτὰ τῶν περὶ τὸν νοῦν.

Ἔτι, | ὁ ἀνθρώπινος νοῦς δυνάμει ἐστὶ πρὸς μόνον τὰ ἐνεργείᾳ νοητά, f. 99 ἄγεται δέ τι ἐκ δυνάμεως εἰς ἐνέργειαν διὰ τοῦ ἐνεργείᾳ ὄντος· τὰ δὲ οὐράνια σώματα οὐκ εἰσὶν ἐνεργείᾳ νοητά, καθ' ἕκαστα ὄντα καὶ αἰσθητά. Οὐ δύνανται ἄρα εἰς τὸν νοῦν ἄντικρυς δρᾶν.

Ἔτι, ὧν αἱ τῶν οὐρανίων κινήσεις αἴτιοι, χρόνῳ ὑπόκεινται· ὁ δὲ νοῦς τῇ ἑαυτοῦ ἐνεργείᾳ ὥσπερ τόπον, οὕτω καὶ χρόνον οὐχ ὁρίζει· θεωρεῖ γὰρ τὸ καθόλου, ὃ κεχώρισται τοῦ ἐνταῦθα καὶ νῦν. Οὐκ ἄρα ἡ νοερὰ ἐνέργεια ὑπόκειται ταῖς οὐρανίαις κινήσεσιν.

Ἔτι, οὐδὲν δύναται τοῖς ταπεινοτέροις ὑποκεῖσθαι κατ' ἐκεῖνο, καθὸ τοῖς ὑψηλοτέροις ἑνοῦται· ἡ δὲ ἡμετέρα ψυχὴ κατὰ τὸ νοεῖν ταῖς νοεραῖς οὐσίαις ἑνοῦται, αἳ τῇ τάξει τῆς φύσεως τῶν οὐρανίων σωμάτων εἰσὶν ὑψηλότεραι.

Ἐντεῦθεν καὶ ἡ ἱερὰ Γραφὴ οὐ σώματί τινι, ἀλλὰ τῷ Θεῷ ἀποδίδωσι τὴν αἰτίαν τῆς ἡμετέρας νοήσεως, ὡς ἐν τῷ Ἰώβ· „Ποῦ ἐστιν ὁ Θεὸς ὁ ποιήσας με, ὁ διδοὺς ᾠδὰς ἐν νυκτί, ὁ διδάσκων ἡμᾶς ὑπὲρ τὰ κτήνη τῆς γῆς, καὶ ὑπὲρ τὰ πετεινὰ τοῦ οὐρανοῦ παραινῶν"; καὶ ἐν τοῖς Ψαλμοῖς· „Ὁ διδάσκων ἄνθρωπον γνῶσιν".

Ἰστέον δὲ ὅτι τὰ οὐράνια σώματα, εἰ καὶ τῆς νοήσεως ἡμῖν ἄντικρυς οὐκ εἰσὶν αἴτια, συνεργοῦσι μέντοι πρὸς τοῦτο· σωματικὴ μὲν γὰρ δύναμις οὐκ ἔστιν ὁ νοῦς ἡμῶν, ἀλλ' ἡ ἐνέργεια αὐτοῦ οὐ δύναται ἐν ἡμῖν ἀποπληροῦσθαι ἄνευ τῆς τῶν σωματικῶν δυνάμεων ἐνεργείας, αἵ εἰσιν φαντασία, ἀνάμνησις, διάνοια, ὧν τῆς ἐνεργείας κωλυομένης διά τινα τοῦ σώματος ἀνεπιτηδειότητα, καὶ ἡ ἐνέργεια τοῦ νοῦ κωλύεται, ὡς ἐπὶ τῶν φρενίτιδι κατεχομένων, ἢ ληθάργων καὶ τῶν τοιούτων, καὶ διὰ τοῦτο ἡ ἀρετὴ τῆς τοῦ ἀνθρωπίνου σώματος διαθέσεως ποιεῖ τὸν ἄνθρωπον, ἐπιτήδειον πρὸς τὸ νοεῖν, καὶ ἐντεῦθεν τῶν εἰρημένων δυνάμεων δυνατωτέρων γινομένων· ὅθεν ἐν τῇ περὶ ψυχῆς λέγεται, ὅτι τοὺς μαλακοσάρκους ἐπιτηδείους ὁρῶμεν πρὸς τὸ νοεῖν· ἡ δὲ τοῦ ἀνθρωπίνου σώματος διάθεσις ὑπόκειται ταῖς οὐρανίαις κινήσεσιν, καὶ διὰ τοῦτο οὐκ ἄντικρυς τὰ οὐράνια σώματα πρὸς τὴν τοῦ νοεῖν ἀρετὴν ἐνεργοῦσιν, ὥστε καὶ ὥσπερ οἱ ἰατροὶ περὶ τῆς ἀρετῆς τοῦ νοῦ δύνανται κρίνειν ἐκ τῆς τοῦ σώματος κράσεως

---

21 Iob, 25, 10-11 24 Ps. 93, 10

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

f. 99v ὡς ἐκ προσεχοῦς διαθέσεως, οὕτως | οἱ ἀστρολόγοι ἐκ τῶν οὐρανίων σωμάτων ὡς ἐκ πόρρω αἰτίων, ταύτης τῆς διαθέσεως. Καὶ οὕτως ἀληθεύει τὸ τοῦ Πτολεμαίου· „Ὅταν ἐν γενέσει τινὸς ὁ Ἑρμῆς ἔν τινι τῶν οἴκων τοῦ Κρόνου ᾖ, καὶ αὐτὸς δυνατὸς ᾖ, δίδωσιν ἀρετὴν τῇ νοήσει“.

## LXXXV. — Ὅτι τὰ οὐράνια σώματα οὐκ εἰσὶ τῶν ἡμετέρων βουλήσεων ἢ αἱρέσεων αἴτια.

Ἡ γὰρ βούλησις ἐν τῷ νοερῷ μέρει τῆς ψυχῆς, ὡς ἐν τρίτῳ περὶ ψυχῆς· ἀλλ' εἰς τὸν ἡμέτερον νοῦν ἐδείχθησαν μὴ δύνασθαι δρᾶν τὰ οὐράνια σώματα, ὥστε οὐδ' εἰς τὴν ἡμετέραν θέλησιν ἄντικρυς.

Ἔτι, τὰ ἐκ τῆς δράσεως τῶν οὐρανίων ἐν τοῖς ὑποκάτω κατὰ φύσιν συμβαίνουσιν· ἀλλ' αἱρούμεθα πράττειν οὐ φυσικῷ νόμῳ, ἀλλ' ἰδίᾳ προθέσει· διὸ καὶ ἡ πρόθεσις καὶ ἡ φύσις δύο εἰσὶ ποιητικαὶ ἀρχαί. Καὶ τὰ μὲν κατὰ φύσιν γινόμενα ὡρισμένοις ἄγονται μέσοις ἐπὶ τὸ τέλος· ὅθεν καὶ ἀεὶ τὸν αὐτὸν ἀποβαίνουσι τρόπον. Διαφόροις δὲ ὁδοῖς πρὸς τὸ τέλος αἱ αἱρέσεις αἱ ἀνθρώπιναι τείνουσιν.

Ἔτι, τὰ μὲν φύσει, ὡς ἐπὶ τὸ πλεῖστον, ὀρθῶς γίνεται· ἀλλ' αἱ ἀνθρώπιναι αἱρέσεις οὐκ εἰσὶν ὀρθαί, ὡς ἐπὶ τὸ πλεῖστον. Οὐκ ἄρα φύσει εἰσίν.

Ἔτι, ἡ αἵρεσις ἡμῶν ἐν τῇ ἡμετέρᾳ δυνάμει ἐστίν· ἀλλὰ τὰ οὐράνια σώματα τῆς ἡμετέρας ἄρχει δυνάμεως ἐν οἷς τέτακται, τοῖς σωματικοῖς δηλονότι.

Ἔτι, ἀναιροῖτ' ἂν ἡ κοινωνικὴ ζωὴ ἐν ἀνθρώποις, εἰ αἱ θελήσεις ἡμῶν τῶν οὐρανίων σωμάτων προΐοιεν· εἰκῇ δ' ἂν καὶ αἱ ἐντολαὶ τοῦ πῶς ζῆν χρὴ ἐδίδοντο, εἰ μὴ τῶν ἰδίων αἱρέσεων ὁ ἄνθρωπος κύριος ἦν· εἰκῇ δ' ἂν ἐτάττοντο καὶ ἆθλα καὶ δίκαι, ὧν ἀναιρουμένων, τὸ κοινωνικὸν τῆς ζωῆς ἀπόλλυται.

Ἔτι, τὸ θέλειν ἐν ἡμῖν πᾶν εἶδος σωματικὸν ὑπερβαίνει, ὡς καὶ αὐτὸ τὸ νοεῖν. Ὡς γὰρ τὰ καθόλου νοοῦμεν, οὕτω καὶ ἡ βούλησις ἡμῶν ἐπὶ τὰ καθόλου φέρεται, ὥσπερ πᾶν λῃστῶν γένος μισοῦμεν, καὶ πᾶν γένος ἐπιεικῶν φιλοῦμεν. Οὐκ ἄρα ἐκ τῆς δράσεως τῶν οὐρανίων σωμάτων ἐστὶν ἐν ἡμῖν τὸ θέλειν· οὐδὲν γὰρ ποιεῖ ἐπ' ἐκεῖνα τῆς ἰδίας φύσεως. Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ Ἱερεμίᾳ· „Μὴ φοβεῖσθε ἀπὸ τῶν σημείων τοῦ οὐρανοῦ, ἅπερ τὰ ἔθνη φοβεῖται· οἱ γὰρ νόμοι αὐτῶν, μάταιοί εἰσιν“.

Ἰστέον δὲ ὅτι, εἰ καὶ μὴ ἄντικρυς εἰς τὴν ἡμετέραν βούλησιν δρῶσιν, κατὰ συμβεβηκὸς μέντοι, καθόσον δρῶσι μὲν εἰς τὰ σώματα ἡμῶν ἄντικρυς,
f. 100 | διὰ δὲ τῶν σωμάτων χορηγοῦσί τινα αἴτια ταῖς ἡμετέραις αἱρέσεσιν. Οὐ μόνον γὰρ αἱ εἰς τὰ ἔξω σώματα δράσεις αὐτῶν αἴτιοι ἡμῖν γίνονταί

---

11 *ἐν τοῖς*: *ἐκ τοῖς* A par distraction 33 Ierm. 10, 2-3.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006